Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: vtu-aa

*Λεξικὰ Σεγουηριανά* · Seguerian Lexicons

# Lexicon of Rhetorical and Philosophical Terms

## *Συλλογὴ χρησίμων λέξεων ἐκ διαφόρων ῥητόρων καὶ*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Μικταὶ διάλεκτοι* Mixed Dialects
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

16a Ἀγειοχώς : ἐνέγκας. Ἀγείρει : συνάγει. Ἀγελαῖος : ἰδιώτης. ἢ ὁ ἐν ἀγέλῃ διάγων. Ἀγεννῶς : ἀνάνδρως. Ἀγέραστος : ἄτιμος. Ἀγερωχία : ὑπερηφανία. Ἀγέρωχος : ἔντιμος. ἀνδρεῖος. Ἄγετε : τὸ ἡγεῖσθε καὶ οἴεσθε. Ἄγευστοι : ἄπειροι. Ἀγήνωρ : ὁ ἄγαν ἀνδρεῖος. [10]

16b ἢ ὁ ἀγαστὸς ἐν ἀνδρείᾳ. σημαίνει δὲ καὶ τὸν ὑπερήφανον. ἔστι δὲ κύριον. Ἄγη : θαῦμα. χαρά. ἀπιστία. ζῆλος. παρ' Ἡροδότῳ βασκανία. παρ' Ὁμήρῳ ἔκπληξις. πληγή. θραῦσις. κλάσις. ἀπώλεια. ἔνιοι ἱέρεια. Ἄγημα : τὸ προϊὸν τοῦ βασιλέως τάγμα ἐλεφάντων καὶ ἵππων καὶ πεζῶν, οἱ δὲ τὸ ἄριστον τῆς Μακεδονικῆς συντάξεως. Ἀγήρω : τὰ μὴ γηρῶντα. [10]

17a Ἁγιάσαι : καρπῶσαι. καῦσαι ἁγίως. Ἁγιάσατε : προευτρεπίσατε. κηρύξατε. Ἁγιστείας : ἁγιωσύνης. καθαρότητος. λατρείας. Ἁγιστεύειν : ἁγιάζειν. καὶ Ἁγιασθέντων : ἀφιερωθέντων. Ἁγιστεύσαντες : τὰ τῆς θυσίας ἐπιτελέσαντες. Ἀγκαλίδα : μερίδα. Ἀγκύλια : οἱ κρίκοι τῶν ἁλύσεων. Ἀγκυλομῆται : σκολιόβουλοι. Ἀγκύλον : καμπύλον. ἐπικαμπές. Ἀγκυλόχειλος : σκολιόχειλος. Ἀγλαΐα : λαμπρότης. Ἀγλαΐαις : λαμπρότησιν. Ἀγλαόκοιτος : πάνυ τίμιος. Ἀγλαότιμον : λαμπρόν. τετιμημένον. Ἄγμασι : κλάσμασι. τροπαῖς. Ἁγνεία : καθαρότης. Ἄγνυται : κλᾶται. [26]

17b Ἀγνωμόνως : ἀνοήτως ἢ ἀχαρίστως. λέγονται δὲ παρὰ Πλάτωνι Ἀγνώμονες οἱ ἀμαθεῖς. Ἀγνῶτας : μὴ ἐπιγιγνωσκομένους. Ἀνακράτως ἐλαυνόμενα : Ξενοφῶν ἀντὶ τοῦ πάνυ ἐλαύ[νοντα]. Ἀγλευκέστερον : ἀντὶ τοῦ ἀηδέστερον. Ξενοφῶν Ἱέρωνι. Ἀγομένων τῶν ἡμετέρων : ἀντὶ τοῦ ἁρπαζομένων καὶ ληστευομένων. Ἀγοραίαν : τὴν δίκην. τὴν δικαιολογίαν. Ἀγοράζειν : τὸ ἐν ἀγορᾷ διατρίβειν. Ἀγοραῖοι : οἱ ἐν ἀγορᾷ ἀναστρεφόμενοι. Ἀγορανομίας : λογιστείας. εἴρηται δὲ ἐπὶ τῶν ἐπισκοπούντων τὰ τῶν πόλεων ὤνια. Ἀγορήν : ἐκκλησίαν. Ἀγορηταί : σύμβουλοι. φρόνιμοι. Ἄγος : μίασμα. ἢ ἀγκών. Ἀγός : ἡγεμών. Ἄγραυλοι : οἱ ἐν ἀγρῷ διανυκτερεύοντες ἢ αὐλιζόμενοι. [27]

18a Ἀγύρτης : ἐπαίτης. φιλοκέρδης. Ἄγραφα : ἀδοκίμαστα οἱονεὶ ὑπὲρ ὧν νόμος οὐ γέγραπται. Ἀγωνιῶ : κινδυνεύω. *** Ἀκράτιστα : ἔμβρωμα. Ἄκριτα : ἀχώριστα. Ἀκριτόμυθος : πολυλόγος. ἀδιακρίτους ἔχων τοὺς λόγους. Ἀκριτόφυλλον : σύμφυτον πολλοῖς δένδροις ὥστε μὴ διακρῖναι αὐτῶν τὰ φύλλα ἃ φέρει. Ἀκροβολίζεται : τὰ ἄκρα τοῦ σώματος. Ἀκροβολισμός : ἐρεθισμός. Ἀκροβόλοι : ἀκοντισναί. τοξόται. Ἀκρόδρυα : καρποὶ δενδρικοί. Ἀκροθίνια : τὰς τῶν ἐνιαυσιαίων καρπῶν ἀπαρχάς, ἀκροθίνια δὲ κυρίως καλεῖσθαι τὰς ἀπαρχάς, ἃς ἀνατιθέασιν οἱ ἐξ ἐμπορίας παρὰ τὸ ἀπὸ τοῦ θῖνος, τουτέστιν τοῦ αἰγιαλοῦ σεσῶσθαι αὐτά. [23]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

18b ἄλλοι δὲ τὰ ἀπὸ τῶν πολέμων παρὰ τὸ σίνεσθαι ἐν τῷ πολέμῳ πολλοὺς τουτέστι βλάπτεσθαι. ἢ τὰ ἄκρα τῶν σωρῶν. Ἀκρόκομοι : μετρίως κομῶντες ἢ λίαν. ἢ τὰ ἄκρα τῆς κεφαλῆς κομῶντες. Ἀκροπόλεσιν : ἀκρωρείας. Ἀκροσφαλεῖς : ἀκροσφαλισμένους. Ἀκρότομος : ἄκληρος. ὑψηλός. Ἀκρώρεια : ἐξοχή. κορυφή. εἰς τρία γὰρ διῄρητο τὸ ὄρος· εἰς ἀκρώρειαν, εἰς ὑπώρειαν, εἰς τέρμα. ἀκρώρεια μέν ἐστιν ἡ κορυφή, ὑπώρεια δὲ τὰ πλευρὰ τοῦ ὄρους, τέρμα δὲ τὰ τελευταῖα. Ἀκτή : αἰγιαλὸς παραθαλάσσιος. Ἀκύμων : μὴ γεννῶσα ὡς ἐγκύμων ἡ συνειληφυῖα. Ἅλα : θάλασσαν. Ἀλάβαστρον : ἄγγος μύρου μὴ ἔχον λαβάς, λίθινος ἢ ψήφινος μυροθήκη. [23]

19a Ἀλαζών : ὑπερήφανος. Ἀλαλαγμός : ἐπινίκιος ὕμνος. Ἀλαλητόν : θόρυβον. Ἀλαπάξαι : πορθῆσαι. κενῶσαι. ὁμαλίσαι. Ἀλάστωρ : φονικὸς δαίμων τιμωρῶν καὶ ἀνελπιστὰ ποιῶν. Ἀλᾶται : πλανᾶται. ῥέμβεται. Ἄλγεα : κακά. λυπηρά. Ἀλέα : θέρμη. ἔλλαμψις. Ἀλεεινός : θερινός. θερμός. Ἀλεῖπται : Ἁλεῖται : πηδήσει. Ἀλείφατι : ἐλαίῳ. ἢ ἑτέρῳ ἀλείμματι. Ἀλείψας : διεγείρας· ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν. Ἀλέξειν : ἀποτρέπειν. Ἀλεξιτῆρα : βοηθόν. [20]

19b Ἀλεξήσοντα : βοηθήσοντα. Ἀλεξίκακον : κακίας καθαρτικὸν καὶ θεραπευτικόν. Ἄληπτος : ἀκατάγνωστος. Ἀλήτης : ἁμαρτωλός. πλανητής. Ἀλητεύω : πλανητεύω. Ἀλία : πορεία. Ἁλιάδας : μικρὰ σκαφείδια. Ἀλίβας : ὁ νεκρός. ἢ ποταμὸς ἐν Ἅιδου λέγεται· ἢ Ἀλίβας καὶ τὸ ὄξος ἀπὸ τοῦ λίβεσθαι θεοῖς. Ἀλίμων : βοτάνη δενδροειδὴς παρὰ θάλασσαν. Ἁλίπεδον : ὁμαλὸν ἔδαφος παρὰ τῇ θαλάσσῃ. Ἁλίπλοα : ἐν θαλάσσῃ πλέοντα. Ἁλιῤῥόθιον : κῦμα θαλάσσης. *** Ἀμαρυγή : λαμπηδών. [22]

20a Ἀμαρυγάς : ὄψεις. οἱ δὲ ἀκτῖνας ὄψεως. Ἀμάρυγμα : φόρημα. εἴδωλον. κίνησιν. λαμπηδόνα. Ἁμαξιτόν : ὁδὸν δημοσίαν. Ἀμαυρά : σκοτεινά. ὅθεν καὶ ἀμαυρὸν τὸ μὴ διαφανές. Ἄμαχον : δυσκαταμάχητον. Πίνδαρος· ἄμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος. Ἀμβλίσκουσιν : ἀποβάλλουσιν. Ἀμβλύς : ὁ μὴ ὀξύς. ἢ σκοτεινός. Ἀμβλυώττει : τυφλώττει. Ἀμβλωθρίδια : ἐκτρώματα τὰ ἐξημβλωμένα. ἔμβρυα. Ἀμβρόσιον : θεῖον. ἀθάνατον. θαυμαστόν. Ἄμβροτα : θεῖα. ἄφθαρτα. Ἀμείβεσθαι : ἀποκρίνεσθαι. [23]

20b Ἀμείβων : ἀλλάσσων. Ἀμειδές : στυγνόν. σκυθρωπόν. Ἀμείλικτος : ἀπάνθρωπος. Ἀμείλικτον : ἀπηνές. Ἀμείλιχος : σκληρός. ἀκολάκευτος. Ἀμειψόμεθα : ἀνταποδώσομεν. Ἀμέλει : τοιγαροῦν. Ἀμελητί : ἀνυπερθέτως. ταχέως. Ἀμεταποίητον : ἀμετάθετον. Ἀμεταστρεπτί : ἀμελητί. μὴ ἐπιστρεφομένως. Ἀμηγέπη : ὁπωσδήποτε. καθ’ ὁτιοῦν. λέγεται δὲ καὶ Ἀμωσγέπως καὶ Ἀμόθεν καὶ ἀμουγέπου καὶ Ἀμοιγέποι καὶ Ἀμωσγέποι . Ἀμήρυτον : πολὺ ἐκτεταμένον. ἀτέλεστον τουτέστι διηνεκῶς ἐπιμένον. ἀπέραντον. Ἀμήσαντες : ἀντὶ τοῦ μὴ ἀποτεμόντες. Ἀμητῆρες : θερισταί. Ἀμητός : αὐτὰ τὰ τεθερισμένα ὀξυτόνως, προπαροξυτόνως δὲ ὁ καιρὸς τοῦ θερισμοῦ ὡς καὶ τρύγητος ὁ καιρὸς τοῦ τρυγᾶν. [22]

21a Ἀμηχανία : ἀπορία. Ἀμήχανον : ὑπὲρ λόγον. Ἀμίδας : τὰ ὑπηρέσια. Ἁμίλλα : ἀνταγώνισμα· φιλονεικία. ἐξίσωσις. Ἅμματα : δεσμά. Ἀμογητί : ἀκόπως. Ἀμοιβαδόν : ἐξαιφνῆς. ἐφεξῆς. Ἀμοιβαία : ἔκτισις. ἀνταπόδοσις. ἢ ἐκ διαδοχῆς ὁμοία. Ἀμοιβή : ἀνταπόδοσις. Ἀμοιρῆσαι : ἀποτυχεῖν. Ἀμόργινα : ἀπὸ Ἀμόργου. Ἄμουσα : ἀτερπῆ. ἀηδῆ. ἀπαίδευτα. Ἀμπεχόμενος : περιβαλλόμενος. Ἀμπεχόνη · ἀμφίον. ἱμάτιον. Ἀμπεχόνιον : λεπτὸν ἱμάτιον. πάλλιον. Ἀμπλακίας : ἁμαρτίας. Ἄμπυκας : χαλινούς. Ἄμπυξ : δεσμὸς τριχῶν. [26]

21b ἢ κόσμος τῆς κεφαλῆς. Ἄμπωτις : ξηρασία. ἢ πλημμύρα. Ἀμυδρά : ἀφανῆ. σκοτεινά. Ἀμυδρῶς : σκοτεινῶς. λεπτῶς. ἀσαφῶς. Ἀμύητος : ἄπειρος. ἀτέλεστος. Ἀμύμων : ἄψογος. ἄμεμπτος. Ἀμύντωρ : βοηθός. Ἄμυξις : σπάραξις. Ἀμύσσει : ξέει. σπαράσσει. Ἀμυχή : ἐπιπόλαιον ἕλκος. Ἀμφ’ αὐτούς : περὶ αὐτούς. Ἄμφηκες : ἀμφοτέρωθεν ἠκονημένον. Ἀμφηρεφές : ἀμφοτέρωθεν ἐστεγασμένον. ἢ κατάσκιον. Ἀμφήριστον : ἄνισον. ἀμφίβολον. Ἀμφί : περί. ἐξ ἑκατέρου μέρους. Ἀμφίβιον : ἐν ἀμφοτέραις δυνάμενον βιοῦν, θαλάσσῃ καὶ γῇ. Ἀμφίβολοι : πανταχόθεν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βαλλόμενοι. ἢ ἀπορούμενοι. διαφόροις συνεχόμενοι λογισμοῖς ἀγνοίᾳ τοῦ αἱρετοῦ καὶ εἴτε τοῦτο εἴτε ἐκεῖνο ποιήσουσιν. [25]

22a Ἀμφιγνοεῖ : ἀμφιβάλλει. Ἀμφιγυίοισιν : τοῖς ἐξ ἑκατέρου μέρους πλῆξαι ἢ γυιῶσαι δυναμένοις. Ἀμφίδεα : ψέλλια. Ἀμφιδεές : περιδεές. Ἀμφιθαλής : ἑκατέρωθεν θάλλων. Ἀμφίθετον : κατὰ πᾶν μέρος αὐτῆς τιθεμένην, ἀπύθμενον. Ἀμφίκρημνος : περίκρημνος. ἢ βραχυτάτη. Ἀμφιλαφές : κατάσκιον. ἀμφοτέρωθεν βοηθούμενον. Ἀμφιλάφεια : ἀμφοτέρωθεν βοήθεια. Ἀμφιλαφής : μεγάλη οἷον ἀμφιλαβής, ὅτι ἀμφοτέραις χερσὶ λαμβάνεσθαι αὐτῆς ἐστιν. Ἀμφιμάτορας : ἀμφοτέρους τοὺς γονεῖς ἔχοντας. Ἀμφιματῶσαι : ἀποδῦσαι. Ἄμφιον : ἱμάτιον. ἔνδυμα. Ἀμφίπολος : θεράπαινα. Ἀμφιρύτη : περιῤῥεομένη κύκλῳ. Ἀμφισβητεῖν : μὴ συμφωνεῖν ἀλλ' οἷον χωρὶς βαίνειν καὶ ἀμφιβάλλειν. Ἀμφίταποι : τάπητες ἀμφίμαλλοι. [27]

22b Ἀμφιστεφέες : πάντοθεν πλήρης. περιπεπλεγμέναι ἀλλήλαις. Ἀμφὶ τὸ λυκόφως : περὶ τὴν αὐγήν. Ἀμφιτρυγῆ : κατεῤῥωγότα. Ἀμφιφορεῖα : ἀγγεῖα. Ἀμφιφορεῦσιν : κεραμίοις ἀμφορεῦσιν. Ἀμφίχυτον : περικεχωσμένον. Ἄμφοδον : δίοδον. ῥύμην. Ἀμφορεαφόρους : τοὺς μισθίους τοὺς τὰ κεράμια φέροντας. Ἀμφορεῖς : κέραμοι. Ἀμφορεύς : ἄγγειον. μέτρον κεράμιον. Ἄμφω τὼ χεῖρε : ἀμφοτέρας τὰς χεῖρας. Ἀμώμενοι : θερίζοντες. Ἀμωσγέπως : ὁπωσδήποτε. ἐν γέ τινι. καθ' ὅντινα οὖν τρόπον. Ἀμῶσιν : θερίζωσιν. Ἀναβιώσκεσθαι : ἀναζῆν. Ἀνάγνωσις : ἀναγνώρισις ἢ ἀνάπεισις. Ἀναβοθρεύουσιν : ἀναμοχλεύουσιν. Ἀναβράσσουσιν : ἀναδιδοῦσιν. [28]

23a Ἀναγραπτόν : τὸ ἀναγεγραμμένον ἤ τὸ φα[νερῶς γεγραμμένον ἢ τὸ πᾶσιν ἐγνωσμένον cum folio sequenti perierunt.] *** Ἀνομβροῦσαι : ἀναβλύζουσαι. Ἀν' ὅμιλον : κατὰ τὸ πλῆθος. Ἀνοργίας : ἀμυησίας· ὄργια γὰρ τὰ μυστήρια. Ἀνοργιάστοις : τῶν μυστηρίων ἀπείροις. Ἀνόσιον : βέβηλον. ἀνίερον. ἄθυτον. Ἀντανάκλασιν : κατὰ ἀνάκλασιν ἀπό τινος μεταγομένη. γίνεται δὲ τοῦτο ἐπὶ φωνῆς, ὅταν ἀντηχῇ, καὶ ἐπὶ φωτὸς ἡλιακοῦ, ὅταν λείῳ τινὶ ἢ λαμπροτάτῳ ὕδατι προσπέσοι. Ἀντεξάγειν : Ἀντε Ἀντερεῖ : Ἀντετόρησεν : εἰς τὸ ἐναντίον ἦλθε τιτρώσκων. Ἀντεφέροντο : ἠναντιοῦντο. Ἀντεφιλοτιμοῦντο : ἀντὶ τοῦ ἡμιλλῶντο καὶ ἤριζον καὶ ἀντηγωνίζοντο. τοῦτο δὲ τὸ ἀντιφιλοτιμεῖσθαι πρώτης ἐστὶ συζυγίας τῶν περισπωμένων καὶ μόνον. ἔστι δέ τινα ῥήματα, ἃ δύο συζυγιῶν εὑρέθη, οἷον σκηνῶ σκηνᾷς καὶ σκηνοῖς, ἀτμολῶ ἀτμολεῖς καὶ ἀτμολοῖς. [26]

23b Ἀντεχόμενος : ἀντιλαμβανόμενος. Ἀντιάζει : ἐναντιοῦται. Ἀντιάνειραι : ἴσανδροι. Ἀντιβολῆσαι : ἀπαντῆσαι. μετασχεῖν. Ἀντιδιαστέλλεται : ἀντιδιΐστησιν. Ἀντικρύ : κατέναντι. ἐξ ἐναντίας. Ἀντικρύς : διόλου ἢ παντελῶς ἢ φανερῶς. Ἀντιπαρεξάγειν : ἀντιτάσσειν. Ἀντιπεπονθότως : ἀντικειμένως. ἐναντίως. Ἀντιπροκλήσεις : ἀντιλογίας. ἀντεγκλήματα. Ἀντίῤῥοπον : ἰσόῤῥοπον. Ἀντιτορήσας : διατρήσας. τοιχωρυχήσας. Ἀντιτυπῆσαι : ἀντιπαθῆσαι. Ἀντιτυπία : ἐναντίωσις. σκληρότης. λαμβάνεται δὲ καὶ ἐπὶ ὁμοιότητος. Ἀντιφερίζειν : ἐξισοῦσθαι. Ἀντιφέρονται : ἐναντιοῦνται. Ἀντιφιλοτιμεῖ : ἀντιθεραπεύει. Ἀντόμενοι : συμβάλλοντες. [29]

24a Ἄντρα νύχια : σκοτεινὰ σπήλαια. Ἀντρώδη : σπηλαιώδη. Ἄντυγες : περιφέρειαι. Ἄντυξ : περιφέρεια τοῦ ἅρματος. Ἀντωπεῖ : ἀντοφθαλμεῖ. Ἀνυπαίτιος : ἀναίτιος. Ἀνυπόβλητον : προὖχον. Ἀνύποιστον : ἀβάστακτον. Ἀνῳκισμένος : ἐν τοῖς ἀνωτάτω γεννηθείς. Ἀνῴμωξεν : ἐστέναξεν. Ἄνω καὶ κάτω : Ἀνώνητον : ἀνωφελές. Ἀξιάγαστος : ἀξιοθαύμαστος. ἀξιόχρεως. Ἀξιέραστον : ἄξιον ἐρασμοῦ. ἐπέραστον. Ἀξιόχρεως : ἱκανός. ἐχέγγυος. ἀξιόπιστος. Ἀξύλῳ : πολυξύλῳ. Ἀοιδή : ᾠδή. Ἀοίδιμος : ὑμνητός. [25]

24b Ἀοιδός : ποιητής. Ἀολλεῖ : ποιεῖ. συνάγει. Ἀολλίσασα : ἀθροίσασα. Ἄορι : τῷ ξίφει. Ἄπαγε : παῦσαι. μὴ γένοιτο. Ἀπαγορεύει : ἀποτρέπεται. ἀρνεῖται. Ἀπαγωγάς : αἰχμαλωσίας. Ἀπαγωγή :

μήνυσις ἔγγραφος διδομένη τῷ ἄρχοντι περὶ τοῦ δεῖν ἀπαχθῆναι τὸν ὁ δεῖνα. Ἀπᾷδον : οὐ συνᾷδον. Ἀπαιδότριβοι : ἀγύμναστοι. Ἀπαιόλημα : ἀπάτημα. Ἀπαίροντες : μεθιστάμενοι Ἀπαίσιον : βλάσφημον. ἀσύμβουλον. Ἀπαιωρούμενον : κρεμάμενον. Ἀπάλαμνος : ἄπειρος. Ἀπαλεξῆσαι : κωλῦσαι. Ἀπαλέξοντες : κωλύσοντες. Ἀπαμβλύνει : ἐκκαθαίρει σκότους καὶ ἀλλοιώσεως. Ἀπαμυνεῖ : ἀποστρέψει. [20]

25a Ἀπαμφιέσαντες : ἐκδύσαντες. Ἀμπαμφίσκων : ἀποκαλύπτων. Ἀπανάστασις : ἀποικία. μετάστασις. Ἅπαξ : Ἁπαξαπλῶς : Ἀπαράκτητος : ἀσύγκριτος. ἀνόμοιος. Ἀπαραπόδιστα : ἀπλανῆ. Ἀπαραποίητον : ἄπλαστον. Ἀπάρσιμον : ἀσινές. Ἀπαρτίαν : ἀποσκευήν. τέλος ἀπαρτισμοῦ. Ἀπάρχου : ἀρχὴν βάλλε, ἢ ἀπαρχὰς πρόσφερε. Ἀπαστία : ἀτροφία. Ἄπαστος : ἄγευστος οἷον ἄμαστος ἀμάσητος. Ἀπάτηλος : ἀπατητικός. Ἀπαυδῶ : ἀπαγορεύω. ἀπολέγομαι. Ἀπαυθαδιάζοντας : μεγαλοφρονοῦντας. Ἀπαυτοματισθεῖσα : οὐκ ἀφ’ ἑαυτῆς τελειωθεῖσα. Ἀπαυτομολῆσαι : ἀναφωρῆσαι. Ἀπαυχενίζειν : ἀφηνιᾶν. [26]

25b ἀτακτεῖν. Ἀπαχθῆναι : ἀπενεχθῆναι. ἀναιρεθῆναι. Ἀπεβίω : ἀπέθανεν. Ἀπέδοτο : ἐκδέδωκεν. παρέδωκεν. Ἀπέδοσθε : ἀπημπολήσατε. Ἀπεθέρισεν : ἀπέκειρεν. Ἀπεικός : ἄτοπον. ἀπρεπές. Ἀπειλῶν : καυχώμενος. Ἀπείργων : κωλύων. Ἀπειρέσια : ἄπειρα τῷ πλήθει. Ἀπείρηκα : κέκμηκα. Ἀπειρήκη : ἀπειρήκειν καὶ ἀπηγορεύθην· ἔστι γὰρ ἀπρόσωπον. Ἄπεισιν : ἀπέρχεται. Ἀπεκομίσθη : ἀπηνέχθη. Ἀπεκρίθη : ἀφωρίσθη. Ἀπέλεθρον : πολλήν. ἀμέτρητον. Ἀπελυμαίνοντο : ἀπεκαθαίροντο. Ἀπεμόρξατο : ἀπεψήσατο. ἐδάκρυσεν. Ἀπεμπολή : ἀπόστασις ἢ μετὰ ἀπάτης πρᾶσις καὶ ἐμπορία. Ἀπεμπολήσας : πεπρακώς. [28]

26a ἀποκτησάμενος. Ἀπεμφαίνει : ἀπείρηκεν. Ἀπενεγκάμενος : κτησάμενος. Ἀπεξεσμένον : ἠκριβωμένον. Ἀπεοικός : ἀπρεπές. Ἀπέραντον : ἄπειρον. Ἀπεῤῥάπισεν : ἀπεφίμωσεν. ἐπεστόμισεν. Ἀπερίβλεπτον : ἀνυπονόητον. Ἀπερίγραπτον : ἀπεριόριστον. Ἀπερίγραπτοι : ἀπερίσκοποι. Ἀπερισάλπιγκτοι : ἀπεριήχητοι. ἀκατήχητοι. Ἀπεῤῥωγότες : κατεσχισμένοι ἢ ἀπεσχισμένοι. Ἀπέσβη : ἐσβέσθη ἢ ἐπαύσατο. Ἀπεσείσατο : ἀπέβαλεν. Ἀπεσκέδασεν : διεσκόρπισεν. Ἀπέσσυα : ἐξέλιπεν. Ἀπεσκευάζετο : Ἀπεσκληκώς : ἀναισθήτως ἔχων καὶ ἀπεσκληρυμμένως. Ἀπεστομάτισαν : ἀπεφθέγξαντο. Ἀπεσφακέλισεν : οἱ μὲν γραμματικοὶ ἐσάπη, ἀπεσφενδόνησεν. [27]

26b Ἀπέσφηλεν : ἀποτυχεῖν ἐποίησεν. Ἀπεσχεδιάζετο : ἡτοιμάζετο. Ἀπεσχοίνισεν : ἀπεχώρισεν. Ἀπεσχοινισμένον : ἀπεστερημένον. ἀποκεκλεισμένον. Ἀπετείχιζον : ἀπεχώριζον. ἀπεκώλυον. Ἀπετίννυον : ἀπεδίδουν. Ἀπέτισα : ἀπέδωκα. Ἀπευθύνει : κολάζει. Ἀπευκτόν : μισητόν. Ἀπεχθάνοντο : ἐμισοῦντο. Ἀπέχθεια : μῖσος. Ἀπεχθής : ἐχθρός. μισητός. Ἀπεχρήσατο : ἀπέκτεινεν. Ἀπέχρησεν : ἐξήρκεσεν. Ἀπεωρούμενον : κρεμάμενον. Ἀπεώσατο : ἀπετινάξατο. Ἀπεωσμένον : Ἀπέωστο : ἐπορθεῖτο. Ἀπηλγηκότες : ἀποκαμόντες. ἀναισθήτως. Ἀπηλλάγησαν : ἐτελεύτησαν. [25]

27a Ἀπήμαντον : ἀβλαβές. Ἀπήμονα : ἀβλαβῆ. Ἀπηνέμους : μὴ ἔχοντας ἀνέμους. Ἀπηρείσατο : ἀπετινάξατο. ἔπηξεν ἀπέθετο. Ἀπηρτημένος : ἀπαιωρουμένος. Ἀπηχές : ψευδές. δύσφορον. ἀηδές. Ἀπηχημένον : ἀπόβλητον. ξένον τοῦ κατὰ πάντων ἤχους. Ἀπήχθετο : ἐμισεῖτο. Ἀπηχθημένον : ἀπόβλητον. Ἀπηχθισμένον : βεβαρημένον. Ἀπίθανον : ἄπιστον. Ἄπιθι : ἄπελθε. ἀναχώρει. Ἄπλαστος : ἀληθινός. ἄδολος. Ἄπλετον : ἄπειρον. Ἁπλοΐδας : ἁπλᾶς χλανίδας. Ἄπλοοι : ἀδύνατοι πλέειν. Ἄπλωτον : ἄπλευστον. Ἄπο : πόῤῥω. μακράν. Ἀπόβλεπτον : ἔνδοξον. [ Ἀποβάθρα : ἀπὸ τῆς νεὼς κλίμαξ καὶ οὐδετέρως καὶ ἀποβατήρια]. Ἀποβλύζων : ἀναβάλλων. [26]

27b Ἀποβουκολήσας : ἐξαπατήσας. Ἀποβύσαντες : ἀποκλείσαντες. Ἀπογραφή : ἀρίθμησις. Ἀποδάσσομαι : ἀπομερίσομαι. Ἀποδειροτομεῖ : ἀποκόπτει τοὺς αὐχένας. [ Ἀποδέκτης : ἀρχὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀθήνησιν τῶν τὰ χρήματα ἀποδεχομένων τὰ δημόσια]. Ἀποδεόντων : ἀπολειπομένων. [ Ἀποδεδιητημένη : δίκη ἧς ἀπέλυσαν οἱ διαιτηταὶ τὸν ἐγκαλούμενον, ἡ δ’ ἐναντία Καταδεδιητημένη]. Ἀποστασίου δίκη: ἡ κατὰ τῶν ἀπελευθέρων ὅταν ἀποστῶσι τῶν ἐλευθερωσάντων. Ἀποδιοπομπεῖσθαι : πρὸς τὸν προτρόπαιον Δία ἀποπέμπεσθαι οἱονεὶ καθαίρεσθαι ἢ ἱλάσκεσθαι. [ Ἀποδικάσαι : ἀπολῦσαι δίκην]. Ἀπὸ δόξης : ἀπὸ εἰκασμοῦ. Ἀποδόσθαι : πωλῆσαι. Ἀποδράς : ἀποφυγών. Ἀποδυσπετεῖ : ἀποδύρεται. Ἀποξένοισιν : ἀπὸ τοῖς ξένοις. Ἀπόζων : ἀποπνέων. [27]

28a Ἀποθρώσκοντα : ἀποπηδῶντα. Ἀποθεσπίσαι : δογματίσαι. ἐκθέσθαι. εἰπεῖν. Ἀποθύμια : λυπηρά. τὰ μὴ καταθύμια. [ Ἀποινᾶν : τὸ χρηματίζεσθαι]. Ἄποινα : λύτρα. Ἀποίσετε : ἀπενέγκετε. Ἀποιχόμενα : παρερχόμενα. Ἀποκαραδοκία : προσδοκία. Ἀποκαρτερήσαντα : ἑαυτὸν λιμῷ ἢ ἀγχόνῃ τοῦ βίου ἐξαγαγόντα. Ἀποκόπους : Ἀποκαταλλάξαι : φιλοποιῆσαι. Ἀποκείλαντες : ἀποκλίναντες. Ἀποκήρυκτον : ἀλλότριον. Ἀποκλήρωσις : μέρος. Ἀποκναίει : διαφθείρει. ἀποκόπτει. ἀπολλύει. λυπεῖ. ὀδυνᾷ. Ἀπόκνιζε : ἀποσκάλλε. ἀποτίλλε. Ἀπόκριμα : κατάκριμα. Ἀποκρούεσθαι : ἀποβάλλεσθαι. [29]

28b Ἀποκυηθέν : τεχθέν. Ἀπόληγε : παύου. Ἀπολυμαίνεσθαι : ἀποκαθαίρεσθαι. Ἀπομάττεσθαι : ἀναλαβεῖν. μιμήσασθαι καὶ ἀποτυποῦν. Ἀπομηνίσας : ἀποχωρήσας δι’ ὀργήν. ἢ παυσάμενος τῆς ὀργῆς. Ἀπόμισθος : ἄμισθος. Ἀπομορξάμενον : ἀποπαυσάμενον. Ἀπόν : ἀπρεπές. Ἀπόνασθαι : κατατρυφᾶν. ἢ ὠφελεῖσθαι. Ἀπόνατε : εὐεργετεῖτε. ὠφελεῖτε. Ἀπόνειμαι : ἀπόδος. Ἀπονηθήσεται : περιπραθήσεται. Ἀπονητί : ἀνιδρωτί. ἀκμητί. Ἀπόνοια : ἄνοια ὕβρις. Ἀπονοστήσει : ἐπανελεύσεται. Ἀπονοσφίζεσθαι : ἀποχωρίζεσθαι. Ἀποξύονται : ἀποτίθενται. Ἀποπερατοῦσαν : συμπληροῦσαν. Ἀποπεφασμένον : ἀπειρημένον. Ἀποπεφοίτηκεν : ἀπῆλθεν. Ἀποπληξία : μανία. [29]

29a ἄνοια. Ἀποπρεσβεύει : ἀπαγγέλλει πρεσβείαν. Ἄποπτον : ἀθεώρητον. ὑψηλότατον. Ἀπόῤῥητα : ἀκατάληπτα. ἀπόκρυφα. Ἀποῤῥοῆς : σταγόνος. Ἀποῤῥυῆς : ἀποῤῥύπτει. ἀπονίπτει. Ἀποῤῥῶγας : ἐξοχὰς ἀπεσχισμένας. Ἀποῤῥώξ : ἀπόσπασμα ὄρους. Ἀποσεμνύνει : γεραίρει. Ἀποσημήνασθαι : ἀφομοιοῦσθαι. Ἀπόσιτος : ἄσιτος. ἄτροφος. Ἀποσκευαζόμενος : ἀποβαλλόμενος. ἀποῤῥίπτων. ἀπογυμνῶν. Ἀποσκευάζοντες : ἀποφέροντες. Ἀποσκιρτᾷ : ἀποπηδᾷ. Ἀποσκλαίη : ἀποθάνοι. Ἀποσκλῆναι : ἀποθανεῖν. Ἀπὸ σκοποῦ : μάτην. ἢ περιττῶς. ἢ ἐναντίως. Ἀποσκορακίζειν : ὑβρίζειν. εὐτελίζειν. ἐξορίζειν. διώκειν. Ἀποσκυθίσαι : κυρίως μὲν τὸ ἐπιτεμεῖν τὸ ἐπὶ κεφαλὴν δέρμα. [27]

29b καταχρηστικῶς δὲ τὸ ἀποκεῖραι. Ἀποσοβεῖ : διώκει. Ἀποσπεύδοντας : Ἀποσπουδάζων : παυόμενος τῆς σπουδῆς. ἀμελῶν. [ Ἀποστασίου δίκη : κατὰ τῶν ἐξελευθερωθέντων.] Ἀποστήσωνται : οἷον σταθμῷ λάβωσιν ἴσον. [ Ἀποστολεύς : ὁ παρασκευάζων πρὸς πλοῦν τοὺς ἀποστελλομένους.] Ἀποστολαί : ἀποπέμψεις. δῶρα. [ Ἀπόστολος : στρατὸς κατὰ πλοῦν πεμπόμενος, ἰδίως δὲ ὁ ἄγγελος. h.] Ἀποστρακισθῆναι : ἐξορισθῆναι. ἐν ὀστράκοις γὰρ τὸ πρὶν ἐγράφοντο αἱ ἐξορίαι. Ἀποστυγοῦντες : μισοῦντες. Ἀποσχεδιάσας : ψευσάμενος. Ἀπόσχει : ἀποσχέσθαι ποιήσει. Ἀποσχῆναι : ἀπενεχθῆναι. Ἀποσχοινίσαντες : ἀποστερήσαντες. Ἀποταμιεύεται : ἀποκλείει. Ἀποταυρούμενος : θρασυνόμενος. Ἀποτείνεται : ἐκτείνεται. [27]

30a φιλονεικεῖ. Ἀποτειχίζων : ἀποφράσσων. Ἀποτεμεῖται : ἀποχωρίσειεν. Ἀποτεύξασθαι : ἀποτυχεῖν. Ἀποτίμησιν : τέλος. ἢ φόρον. Ἀποτραχύνεται : θρασύνεται. Ἀποτρόπαιοι : φευκτοί. μισεῖσθαι ἄξιοι. Ἀποτροπίασμα : ἐξίλασμα ἀποτρέπον τὰ. [ ** ] Ἀποτυμπάνισον : ἄνελε. ὅ ἐστιν φόνευσον. Ἀποφαίνει : φανεροποιεῖ. Ἀποφαντικός : σημαίνει κυρίως τὸν ἐκφαίνοντά τι νόημα, εἴτε διὰ καταφάσεως, εἴτε δι’ ἀποφάσεως. σημαίνει δὲ ἰδικῶς καὶ τὸν μὴ συγκατατιθέμενον. Ἀποφάσκει : ἀπαγορεύει. ἢ ἀποφαντικῶς λέγει τι. Ἀπόφημι : ἀποφαίνομαι. Ἀποφῆναι :

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀποδεῖξαι. Ἀποφθεγγόμενος : μαντευόμενος. Ἀποφοιβάζων : ἀποκαθαίρων. Ἀποφοιτᾶν : ἀποπηδᾶν. ἀναχωρεῖν. Ἀποχετεύονται : μεταφέρονται. Ἀπόχρη : ἐξαρκεῖ. Ἀποχρώντως : ἱκανῶς. [29]

30b Ἀποχρώσης : ἀρκούσης. Ἀποψώμενον : Ἀπριάτην : ἄνευ πράσεως. Ἀπρίξ : ὅλῃ δυνάμει. ἰσχυρῶς. ἀσφαλῶς. Ἀπροόπτως : ἀπροοράτως. ἀπροσδοκήτως. Ἀπρόσβλητον : γενναῖον, ᾧ οὐδεὶς δύναται προσβαλεῖν. Ἀπροσδεής : μὴ χρῄζων. Ἀπρόσιτος : ἀπροσπέλαστος. Ἅπτεσθαι : λαμβάνεσθαι. Ἁπτόν : ψηλαφητόν. Ἅπτων : δεσμεύων. Ἄπυστα : ἀνήκουστα. Ἀπῳδόν : τὸ τῆς ᾠδῆς ἀλλότριον. Ἄπωθεν : χωρίς. ἢ πόῤῥωθεν. Ἀπώμοτον : ἀπηγορευμένον. φευκτόν. Ἀπφά : ἀδελφή. Ἀπώναται : ὠφελεῖται. εὐεργετεῖται. Ἀπωνηθήσεται : περιπραθήσεται. Ἀπωτέρω : πόῤῥω. [27]

31a Ἀπῴχοντο : ἀπεφέροντο. Ἀραῖς : κατάραις. Ἀράμενοι : ἐπάραντες. Ἀράξαι : συντρῖψαι. Ἄραρεν : κέκριται. Ἄραρον : ἥρμοσαν. Ἀραρώς : πάγιος ἢ βέβαιος. Ἀραρυῖαν : ἡρμοσμένην. Ἄρασθαι : ἀπενέγκασθαι. Ἀρασσόμενα : προσρηγνύμενα. προσκρουόμενα. Ἀρᾶται : εὔχεται. ἢ καταρᾶται. Ἀράττων : κρούων. Ἀργαλέως : χαλεπῶς. Ἀργιόδοντα : λευκόν. ἢ ὀξυόδοντα. Ἀργίποδες : ταχεῖς. ὀξύποδες. Ἀργυραμοιβόν : κολλεκτάριον. Ἀργυρογνώμων : δοκιμαστής. Ἀργυροδίνης : καλὰς δίνας ἔχων. δῖναι δὲ αἱ τῶν ὑδάτων συστροφαί. Ἄρσεων : βασταγμάτων. Ἀργυραμοιβός : ὁ τραπεζίτης. ὁ ἀργυροπράτης. Ἄρται : ἐπικρέμαται. [25]

31b Ἄρτι : τὸ μέρος τοῦ παρεληλυθότος συνάπτον τῷ νῦν ἐναντίως ἔχον τῷ αὐτίκα. τοῦτο γὰρ κατὰ τὸ μέλλον συνάπτει τῷ νῦν. Ἄρτια : ἡρμοσμένα. τέλεια. ὑγιῆ. λέγεται δὲ καὶ ἄρμενα. Ἀρτιεπής : ἀπηρτισμένος ἐν τῷ λέγειν. Ἀρτιθαλῆ : νεόφυτα. Ἀρτίπους : ὑγιεῖς τοὺς πόδας ἔχων. Ἀρτίως : τελείως. ὑγιῶς. Ἀρτύειν : σκευάζειν. Ἀρτύναντες : παρασκευάσαντες. Ἄρυθμος : ἀδιατύπωτος. ἀκανόνητος. μὴ ἔχων ῥυθμόν. Ῥυθμὸς γὰρ ὁ τύπος. Ἀρυσάμενος : ἀντλήσας. Ἀρχαίως : ἀπραγμόνως. ἀπαρατηρήτως ἢ καὶ ἠλιθίως. Ἀρχεῖα : ἔνθα οἱ δημόσιοι χάρται ἀπόκεινται. χαρτοφυλάκια. ἢ τὰ χωρία τῶν κριτῶν. ἢ αἱ ἀρχαί ὡς Ξενοφῶν ἐν ἱστοριῶν η′. Ἀρχέτυπον : Ἀρχηγέτης : ἡγεμών. [26]

32a Ἀρωγή : βοήθεια. Ἀσαφές : ἀνόητον. ἄδηλον. Ἄσβεστος : ἀκατάπαυστος. Ἀσέλγεια : πορνεία. ἀκαθαρσία. παρῆκται δὲ ὥς φασιν ἐξ αἰτίας τοιαύτης. Σέλγη πόλις ἐστι τῆς Πισιδίας, ὅπου κακῶς ἔζων οἱ ἄνθρωποι, καὶ ἀλλήλοις ἐκοινώνουν. κατ’ ἐπίτασιν οὖν τὸ Ἀσελγαίνειν. Ἀσημάντοις : ἀφυλάκτοις. οὐκ ἔχουσι σημάντορας τοὺς ἐπιστάτας. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν σφραγίδων. Ἆσθμα : πνοή. Ἀσθμαίνει : πνευστιᾷ. Ἀσκήσασα : κοσμήσασα. μετ’ ἐπιμελείας ὑφάνασα. Ἄσκησις : ἐγκράτεια. Ἀσκητικός : φιλομαθής. φιλόσοφος. Ἀσκούμενος : κατασκευάζων. κοσμῶν. Ἀσμένως : χαίρων. ἡδέως. προθύμως. Ἀσολοίκως : τὸ ἀφελῶς. Ἀσπαίροντες : σκαρίζοντες. Ἀσπαλία : ἁλιέως ἔργα. Ἀσπαστοί : ἄσμενοι. [29]

32b θεοειδεῖς. ἡδεῖς. Ἀσπασίως : προσηνῶς. φιλοφρόνως. Ἀσπίς : ὅπλον. σκουτάριον. Ἄσπονδοι ἐχθροί : ἀδιάλλακτοι. Ἅσσα : ἅτινα. Ἀστάθμητος : ἄνισος. Ἄστεγος : ὁ μὴ ἔχων στέγην. λέγεται δὲ καὶ φλύαρος καὶ ἀνυπομόνητος. Ἀστεῖος : εὐσύνετος. εὐπρόσωπος. χαρίεις. καλός. γελοιώδης. ἀστεμφέα: ἀμετακίνητον. βέβαιον. ἢ ἀντὶ τοῦ ἀστεμφῶς. Ἀστερόεντα : ἤτοι ἀστέρας ἐμπεποικιλμένους ἔχοντα. Ἀστέρων τέθριππος : τὸ ἅρμα τοῦ ἡλίου. Ἄστεσιν : πόλεσιν. Ἀστειβής : ἀσφαλής. ἤ ἄβατος. Ἀστεϊζόμενος : ἀγλαϊζόμενος. ὡραϊζόμενος. κομψευόμενος. Ἀστισμός : πιθανολογία. Ἀστός : πολίτης. Ἀστράβη : ὄνος. Ἀστραβηλάτης : ὀνηλάτης. Ἀστράγαλος : κυρίως τὸ συνήθως λεγόμενον. [25]

33a καὶ ὁ σφόνδυλος τοῦ τραχήλου. καὶ ὁ πεττικός. καὶ βοτάναι δὲ οὐκ ὀλίγαι. Ἀσύμβατον : ἀφιλίωτον. Ἀσυμφανῶς : ἐπικεκαλυμμένως. ἀδήλως. Ἀσυναρτήτων : Ἀσυνδυάστως : ἀσυμπλόκως. ἀσυνζεύκτως. Ἀσυνθεσία : παράβασις συνθηκῶν. Ἀσύνθετος : ἀσύμφωνος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄμικτος. Ἀσύντακτον : μὴ συντεταγμένον. μὴ συμφραξάμενον. Ἀσυντελής : ἀσύμφορος. ἀχρήσιμος. Ἀσύφηλον : ἀπαίδευτον. ἀνόητον. Ἀσφάραγον : φάρυγγα. Ἀσφόδελος : σκιλλῶδες φυτὸν φύλλα ἔχον μακρὰ καὶ ἀνθέρικον ἐσθιόμενον. καὶ τὸ σπέρμα δὲ αὐτοῦ φρυγόμενον καὶ ἡ ῥίζα αὐτοῦ κοπτομένη μετὰ σύκων πλείστην ὄνησιν ἔχει. Περσεφόνης καὶ χθονίων ἱερόν. καὶ Ῥόδιοι τὴν Κόρην καὶ τὴν Ἄρτεμιν ἀσφοδέλῳ στέφουσι. προπαροξυτόνως δὲ ἀναγνωστέον· „οὐδ’ ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδελῷ ἒν ὄνειαρ“. [25]

33b τὸν δὲ τόπον ἐν ᾧ φύεται ὀξυτονητέον ὡς καὶ παρ’ Ὁμήρῳ· „κατ’ ἀσφοδελὸν λειμῶνα“. Ἀσχάλλων : ἀδημονῶν. λυπούμενος. χαλεπαίνων. ἀγανακτῶν. Ἀσχέτως : ἀμέτρως. Ἀσώτως : αἰσχρῶς. Ἀταλαίπωρον : ἄπονον. ἢ τὸ ἐξ ἑτοίμου λεγόμενον καὶ οὐ μετὰ ἀποδείξεως. ἢ τὸ εὐχερὲς καὶ φανερόν. Ἀτάλαντον : ἴσον. παραπλήσιον. Ἀταλῇσιν : ἁπαλαῖς. νεογναῖς. Ἀταμίευτον : ἀδιοίκητον. Ἀτάρ : καὶ δή. ἢ πλήν. ἅτε δή. ἢ ὅμως. ἢ ἀντὶ τοῦ δέ. Ἀτὰρ δὲ : πλήν. ὅμως. Ἀτὰρ οὖν : διὰ τοῦτο οὖν. Ἀτάσθαλα : ἄδικα. ἁμάρτωλα. Ἀτέγκτοις : τοῖς μήτε δακρύουσιν μήτε ἱδρῶσιν. ἀβρόχοις. Ἄτεγκτος : ἔσχατος. Ἅτε : ὡς ἄν. Ἅτε δή : ὡς δή. [27]

34a Ἀτέκμαρτον : ἀτελείωτον. ἀκαταστόχαστον. Ἀτέλεια : ἀλειτουργησία. Ἀτελεύτητον : ἀτελείωτον. Ἀτενές : ἀφελῶς ἢ πάνυ προσέχον. Ἄτερ : ἐκτός. χωρίς. Ἅτερα : ἄλλα. Ἀτεράμων : ἀκαταπόνητος. Ἀτέραμνον : σκληρόν. δυσμετάβλητον. Ἀτερμάτιστος : ἀβέβαιος. ἀθεμελίωτος. Ἀτέχνοις : ἀπανούργοις. ἢ ἀπείροις. Ἀτεχνῶς : ἀντὶ τοῦ ἀληθῶς. ἁπλῶς. Ἀτημελήτους : ἀπρονοήτους. λίαν ἠμελημένους. Ἀτημελῶς : ἀμελῶς. ἀνεπιστημόνως. Ἀτίθασον : ἀνήμερον. Ἀτλήτῳ : ἀνυπομονήτῳ. Ἀτμίς : ἀναθυμίασις. ἄκρον πυρός. Ἀτμῶν : ἀναθυμιάσεων. Ἄτομα : λεπτότατα. Ἄτρακτον : βέλος μεταφορικῶς. [27]

34b Ἀτραπούς : ὁδοὺς τετριμμένας. Ἀτραπητός : ὁδός. Ἀτρεκῆ : ἀληθῆ. ἀκριβῆ. Ἀτρεκές : ἀληθές. Ἀτρέμα : ἠρέμα. Ἀτρεμία : ἡσυχία. Ἀτρεμίζων : ἑδράζων. Ἄτρυτος : ἀκαταπόνητος. Ἅττα : τίνα. ἢ ἅτινα. ἢ παραπλήσιον ἢ ὀλίγα. Ἀττέλεβος : ἀκρίς τις. Ἄττει : ὁρμᾷ. βαδίζει. ἐγγίζει. Ἀτυφία : ταπεινοφροσύνη. Αὖ : δὴ ἢ πάλιν. Αὐαίνεται : ξηραίνεται. Αὖοι γὰρ οἱ ξηροί. καὶ Αὐασμός ξηρασία. Αὐάνθη : ἐξηράνθη. Αὔδα : λέγε. Αὐδή : φωνή. Αὐδήεσσα : ὀνομαστή. αὐδωμένη. εἰς ὁμιλίαν καὶ φωνὴν ἀνθρώπων ἀφικνουμένη. Αὐδήσας : βοήσας. [25]

35a φωνήσας. Αὐθάδης : αὐτάρεσκος. θυμώδης. θρασύς. ὑπερόπτης. Αὐθαίρετος : αὐτεπάγγελτος. Αὐθέκαστα : αὐτὰ τὰ γενόμενα οἷον ἀκριβῶς καὶ συντόμως καὶ ἀποτόμως. Αὐθέκαστος : ἀκριβὴς καὶ αὐστηρὸς τῷ λόγῳ. ἀπαρακάλυπτος. Αὐθέντης : ὁ ἑαυτὸν ἀναιρῶν. διὸ παρ’ Ἰσοκράτει τοῦτο λέγεται. Αὖθι : αὐτόθι. Αὐθιγενής : αὐτόχθων. γνήσιος. Αὖθις : ἐξ ἀρχῆς. πάλιν. ἐκ δευτέρου. σημειωτέον δέ, ὅτι τὸ μὲν αὖθις Ἀττικόν, τὸ δὲ αὖτις Ὁμηρικόν. Αὐθωρήτους : συντόμους. Αὖθις αὖ πάλιν : ἐξ ἀρχῆς δὴ πάλιν. ἢ ἐκ δευτέρου δὴ πάλιν. Αὔλαια : τὸ τῆς σκηνῆς παραπέτασμα. κέχρηται δὲ αὐτῷ Ὑπερίδης. Αὐλία : θύρων. πυλών. καὶ ἡ αὐλή. Αὐλίζεται : κοιμᾶται. φυλάττει. παρεμβάλλει. Αὐλίκουροι : φύλακες. Αὐλισμόν : ἐπὶ τῆς αὐλῆς διανυκτερεύειν. [28]

35b Αὐλός : ὁ εἰς εὐθὺ ἐξακοντισμὸς τοῦ αἵματος καὶ περόνης μέτρον. Αὐλῶνες : φάραγγες. ἢ τόποι πλατεῖς περὶ τὰ ὄρη. Αὐλωνίζουσα : ἐν αὔλοις διάγουσα. Αὔραν : πνοήν. Ἀϋσάντων : βοησάντων. φωνησάντων. κηρυξάντων. Αὐσονίων : Ἰταλῶν. Αὖτε : μετὰ ταῦτα. Αὐτερέται : οἱ καὶ ἐλαύνοντες καὶ μαχόμενοι. Αὐτήκοοι : οἱ μὴ ἐπιτασσόμενοι, αὐτοὶ δ’ ἑαυτῶν ἀκούοντες. Αὐτῆμαρ : αὐτῇ τῇ ἡμέρα. Ἀϋτήν : βοήν. μάχην. Αὐτίκα : εὐθέως. παραχρῆμα. συντόμως. πρὸς ὀλίγον. ἢ μικρόν ὕστερον. τὸ δὲ Αὐτίκα μάλα ἀντὶ τοῦ εὐθύς. Αὐτοβοΐ : ἐν αὐτῇ τῇ μάχῃ. Αὐτογένεθλον : αὐτογέννητον. Αὐτοετές : αὐτῷ τῷ ἔτει. Αὐτόθεν : ἐκεῖθεν. Αὐτόσε : ἐκεῖσε. [26]

36a Αὐτοσχέδιον : ἐκ τοῦ συνεγγύς. αὐτοσχεδά. Αὐτολόχευτος : αὐτογέννητος. ὁ θεὸς ὁ ἀγεννητός. Αὐτομόλος : προδοτικός. Αὐτονυχί : αὐτῇ τῇ νυκτί. Αὐτόπρεμνον : αὐτόῤῥιζον. Αὐτόσχεδον : ἐκ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ συνεγγὺς τόπου. Αὐτοσχεδίως : αὐτομάτως. συντόμως. Αὐτοτελής : τέλειος. Αὐτόχειρες : οἱ ἑαυτοὺς φονεύοντες. Αὐτόχρημα ὅμοιον : παντελῶς ὅμοιον. Αὐτοχειρίᾳ : Αὐτόχθων : τῆς αὐτῆς πόλεως. Αὔτως : ὡς ἔτυχεν. Αὔχημα : σεμνολόγημα. Αὐχμηρόν : στυγνόν. ἢ σκοτεινόν. Αὐχμοί : ἀνομβρίαι. Αὐχμώδους : ξηροῦ. ῥυπῶντος. Αὐχμῶντες : στυγνοί. Αὐχοῦντες : καυχώμενοι. [29]

36b Ἀφαγνίσαι : ἀποδοῦναι. καθιερῶσαι λέγεται δὲ καὶ τὸ συλῆσαι. Ἀφαίρεμα : ἀνάθεμα. δῶρον. ἢ ξένιον. Ἁφαῖς : πληγαῖς. Ἀφαμαρτοῦσιν : ἀποτυχοῦσιν. στερηθεῖσιν. Ἀφασία : ἀφωνία [ἀπὸ τοῦ Ἀφῶ ῥήματος δευτέρας συζυγίας, ἐξ οὗ παράγωγον γέγονεν τὸ Ἀφάσσω. ἡ δὲ ἁφὴ δύναται δὲ καὶ ἀπὸ τοῦ Ἁφῶ περισπωμένου γεγονέναι καὶ ἀπὸ τοῦ Ἅφω βαρυτόνου]. Ἀφάσσων : ψηλαφῶν. Ἀφαυροτέροις : ἀσθενεστέροις. Ἀφαυροῦ : ἀσθενοῦς. Ἀφάψαι : προσκολλῆσαι. Ἀφεδρών : αἱ σέλλαι. σελλάρια σωτήρια. Ἀφειδία : καρτερία. Ἀφειδήσας : ἀμελήσας. Ἀφείλετο : ἥρπασεν. ἀνέσπασεν. Ἀφέμενον : ἀποστάντα. ἀντιλέγοντα. Ἀφέξει : ἀποκωλύσει ἀποστήσει. Ἀφέξομαι : παύσομαι. ἀποστήσομαι. Ἀφέσθαι : ἀποσχέσθαι. Ἀφέσται : Ἀφ᾽ ἑστίας : ἀπὸ τῆς οἰκίας. [25]

37a Ἀφετηρία : ἀρχή. θύρα. τοῦ ἱπποδρομίου. Ἁφή : χροία λέπρας. λέγεται δὲ καὶ ἡ ψηλάφησις. Ἀφηβηκότι : γηράσαντι. ὑπερβεβηκότι τὴν ἥβην. τουτέστι τὴν νεότητα. Ἀφήλικα : τὸν πρεσβύτην. τινὲς δὲ χρῶνται τῇ λέξει ἐπὶ τοῦ μηδέποτε ἐννόμου ἡλικίας παιδός, ὅπερ δεῖ φυλάττεσθαι. ἐπὶ γὰρ τοῦ πρεσβυτέρου λέγεται. Ἀφηνιαστής : ἀνυπότακτος. ὑπερήφανος. Ἄφθιτον : ἄφθορον. Ἄφθονα : πολλά. Ἀφῖγμαι : παραγέγονα. Ἀφίει : ἀπέπεμπεν. Ἀφίκετο : ἐλήλυθεν. ἦλθεν. Ἀφῖκται : παραγέγονεν. Ἀφιλότιμος : ταπεινός. παρὰ τὸ μὴ φιλεῖν τιμήν. ἢ ἡττᾶσθαι δόξῃ. Ἀφιματῶσαι : ἀποδῦσαι. Ἀφλυσμός : ἀφρός. Ἀφνειός : ὁ μὴ πλούσιος. Ἄφοδον : ἀναχώρησιν ὥσπερ καὶ ἔφοδον τὴν ἐπέλευσιν. Ἀφοσιούμεθα : τὸ ὅσιον προσποιούμεθα δῆθεν. [30]

37b Ἀφοσιούμενος : πληροφορῶν. ποιήσας τὴν ὁσίαν. Ἀφοσιώσας : καθάρας. ἢ ξενώσας. ἢ τὴν ὁσίαν ποιῶν, τουτέστιν κηδείαν ἢ τὴν ἐπὶ τῷ θανάτῳ μνήμην. Ἀφοσίωσις : ἀνάθεσις καὶ Ἀφοσιωσάμενοι καὶ δικαιωσάμενοι. Ἀφόρητον : ἀβάστακτον. Ἀφραδέως : ἀνοήτως. ἀπείρως. Ἀφραίνει : παρανομεῖ. μωραίνει. παραφρονεῖ. Ἀφροδίσιον : ἔργον Ἀφροδίτης. λαμβάνεται δὲ ἐπὶ τῶν ἔργων τῶν ἐρωτικῶς περὶ τὴν συνουσίαν καὶ σφοδρῶς διακειμένων. Ἄφυκτα : Ἄφυκτον : ὃ οὐκ ἔστιν ἐκφυγεῖν. Ἀφυσμός : Ἀφύσσων : ἀπαντλῶν. ἀρυόμενος. Ἀφωπλίζοντο : ἀπετίθεντο τὰ ὅπλα. Ἀφωσιωμένοι : τιμῶντες ἢ ἀπαρχόμενοι. Ἀχανής : ἀφανής. ἀφεγγής. Ἀχανής : ὁ μὴ κεχηνώς. ὁ ἄφωνος. ὁ ἐνεός. ὁ ἐκπεπληγμένος σιωπῇ. Ἀχείρωτον : ἄμωμον. [26]

38a Ἀχέρων : ποταμὸς ἐν Ἅιδου μεμυθευμένος, παρὰ τὸ Ἄχος. Ἀχηνία : ἀπορία. Ἄχθεται : λυπεῖται. Ἀχθηδών : λυπή. Ἄχθος : βάρος. λύπη. Ἀχθοφόρον : βαστάζοντα. Ἀχή : Ἀχλύς : σκότος. ὁμίχλη. ζόφος. ἀμβλυωπία. Ἄχρι, ἄχρις : ἀντὶ μέχρις, ἕως. Ἄχρι κόρου : παροιμία ἦν, ὅτι ἄχρι κόρου ἐκεῖνος ἀναίσθητός ἐστιν. οὕτως καὶ ἄχρι κόρου ἐφενάκισεν. Ἄχναι : λεπτὰ ἄχυρα καὶ ἀκαθαρσίαι. Ἄχνη : τὸ λεπτότατον τοῦ ὕδατος. ὁ ἀφρὸς τῆς θαλάσσης. Ἄχος : λύπη σιωπὴν ἐπιφέρουσα. [20]

38b παρὰ τοῦτο καὶ Ἀχνύμενος . Ἄχραντον : ἀμόλυντον. ἄψαυστον. κυρίως οὗ χεὶρ οὐχ ἥψατο. Ἀχρώματος : ἀναιδής. Ἀχυρμιαί : οἱ τόποι, εἰς οὓς τὰ ἄχυρα ἀποφέρεται λικμώμενα. Ἀχών : ἄμπελος. Ἁψαμένη : ἐξαρτήσασα. Ἀψαύστως : ἀνεπάφως. Ἁψίδες : καμάραι. Ἁψίκορος : εὐμετάβλητος. Ἁψιμαχία : συναφὴ μάχης. Ἀψιμεσία : πρὸς ὀλίγον διαφορά. Ἀψοφητί : ἠρέμα. Ἄωρον : ἀπρεπές. ἄχαρες. ἄκαιρον. Ἄωτον : ἄνθος. κόσμος. στεφανός. [19]

Eulogikon public reading copy · View original HTML at eulogikon.org